**ΠΡΟΣ ΓΑΛΑΤΑΣ**

# Introduction

*Salutation*

**1:1** Παῦλος, ἀπόστολος—οὐκ ἀπ᾿ ἀνθρώπων οὐδὲ δι᾿ ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ
Χριστοῦ καὶ Θεοῦ Πατρός, τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν—**2** καὶ οἱ σὺν ἐμοὶ
πάντες ἀδελφοί, ταῖς ἐκκλησίαις τῆς Γαλατίας· **3** Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ
Πατρὸς καὶ Κυρίου ἡμῶν[u] Ἰησοῦ Χριστοῦ, **4** τοῦ δόντος ἑαυτὸν περὶ[v] τῶν ἁμαρτιῶν
ἡμῶν, ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος[w] πονηροῦ, κατὰ τὸ θέλημα τοῦ
Θεοῦ καὶ Πατρὸς ἡμῶν, **5** ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Paul is disappointed*

**6** Θαυμάζω ὅτι οὕτως[x] ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι
Χριστοῦ,[y] εἰς ἕτερον εὐαγγέλιον **7**—ὃ οὐκ ἔστιν ἄλλο, εἰ μή τινές εἰσιν οἱ
ταράσσοντες ὑμᾶς καὶ θέλοντες μεταστρέψαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. **8** Ἀλλὰ καὶ
ἐὰν ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ, εὐαγγελίζηται ὑμῖν[z] παρ᾿ ὃ εὐηγγελισάμεθα ὑμῖν,
ἀνάθεμα ἔστω. **9** Ὡς προειρήκαμεν,[a] καὶ ἄρτι πάλιν λέγω· Εἴ τις ὑμᾶς[b] εὐαγγελίζεται
παρ᾿ ὃ παρελάβετε, ἀνάθεμα ἔστω.

**10** Ἄρτι γὰρ ἀνθρώπους πείθω, ἢ τὸν Θεόν; Ἢ ζητῶ ἀνθρώποις ἀρέσκειν; Εἰ γὰρ[c]
ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην.

## Paul's credentials

**1:11** Γνωρίζω δὲ[d] ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον τὸ εὐαγγελισθὲν ὑπ᾿ ἐμοῦ ὅτι οὐκ
ἔστιν κατὰ ἄνθρωπον· **12** οὐδὲ γὰρ ἐγὼ παρὰ[e] ἀνθρώπου παρέλαβον αὐτό, οὔτε
ἐδιδάχθην· ἀλλὰ δι᾿ ἀποκαλύψεως[f] Χριστοῦ.

*How he was before*

**13** Ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ, ὅτι καθ᾿
ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ Θεοῦ καὶ ἐπόρθουν αὐτήν· **14** καὶ προέκοπτον
ἐν τῷ Ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας[g] ἐν τῷ γένει μου, περισσοτέρως
ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων.

---

[u] και κυριου ημων **f**$^{35}$ **𝔓**$^{46,51}$B [75%] RP,HF,OC,TR,CP ¦ ~ 312 ℵA [9%] NU ¦ 12 [16%]
[v] περι **f**$^{35}$ **𝔓**$^{46}$ℵA [55%] RP,HF,CP ¦ υπερ **𝔓**$^{51}$B [45%] OC,TR,NU
[w] ενεστωτος αιωνος **f**$^{35}$ [98%] RP,HF,OC,TR,CP ¦ ~ 2 του 1 **𝔓**$^{46,51}$ℵA,B [2%] NU
[x] ουτως **f**$^{35⅓}$ **𝔓**$^{51}$ℵA,B [65%] RP,HF,CP,NU ¦ ουτω **f**$^{35⅔}$ **𝔓**$^{46}$ [34%] OC,TR ¦ --- [1%] (I include this for the record, to show that the dropping of final *sigma* before a consonant was by no means automatic, and thus to 'justify' my use of the full form at all points. The percentage at 4:3 and 4:29 is even higher.)
[y] χριστου **f**$^{35}$ **𝔓**$^{51}$ℵA,B [97%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**$^{46}$ [0.5%] ¦ three other variants [2.5%]
[z] ευαγγελιζηται υμιν **f**$^{35}$ (A) (53.7%) RP,OC,TR,CP[NU] ¦ ~ 21 **𝔓**$^{51}$B (1.5%) ¦ ευαγγελιζεται 2 (43.7%) HF ¦ 1 ℵ (1.2%) (Scattered among the variants, 1.5% of the MSS have ημιν, 4.4% have υμας, 1.3% and A have ευαγγελισηται, 0.3% have ευαγγελισεται, 1% have ευαγγελιζητε, 0.5% have ευαγγελιζετε.)
[a] προειρηκαμεν *rell* ¦ προειρηκα ℵ [8%] ¦ --- [4%]
[b] υμας *rell* ¦ υμιν [6%] CP
[c] γαρ **f**$^{35}$ [96%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**$^{46}$ℵA,B [4%] NU
[d] δε **f**$^{35}$ **𝔓**$^{46}$ℵA [97%] RP,HF,OC,TR,CP ¦ γαρ B [1%] NU ¦ --- [2%] ¦ one other variant
[e] παρα *rell* ¦ παρ **𝔓**$^{46}$ CP
[f] αποκαλυψεως **f**$^{35}$ [30%] ¦ 1 ιησου **𝔓**$^{46}$0261,ℵA,B [70%] RP,HF,OC,TR,CP,NU
[g] συνηλικιωτας *rell* ¦ 1 μου CP

### *Then he was re-cycled*

**15** Ὅτε δὲ εὐδόκησεν ὁ Θεός[h]—ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου καὶ καλέσας
διὰ τῆς χάριτος αὐτοῦ—**16** ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοὶ ἵνα εὐαγγελίζωμαι[i]
αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι, **17** οὐδὲ ἀνῆλθον
εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους· ἀλλὰ[j] ἀπῆλθον εἰς Ἀραβίαν, καὶ
πάλιν ὑπέστρεψα εἰς Δαμασκόν.

### *A new life and ministry*

**18** Ἔπειτα, μετὰ ἔτη τρία,[k] ἀνῆλθον εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον,[l] καὶ
ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε. **19** (Ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον, εἰ
μὴ Ἰάκωβον, τὸν ἀδελφὸν τοῦ Κυρίου. **20** Ἃ δὲ γράφω ὑμῖν, ἰδοὺ ἐνώπιον τοῦ Θεοῦ
ὅτι οὐ ψεύδομαι.) **21** Ἔπειτα ἦλθον εἰς τὰ κλίματα[m] τῆς Συρίας καὶ τῆς Κιλικίας.
**22** Ἤμην δὲ ἀγνοούμενος τῷ προσώπῳ ταῖς ἐκκλησίαις τῆς Ἰουδαίας (ταῖς ἐν
Χριστῷ) **23**—μόνον δὲ ἀκούοντες ἦσαν ὅτι «Ὁ διώκων ἡμᾶς ποτε νῦν εὐαγγελίζεται
τὴν πίστιν ἥν ποτε ἐπόρθει.» **24** Καὶ ἐδόξαζον ἐν ἐμοὶ τὸν Θεόν.

### *How he was recognized by the apostolate*

**2:1** Ἔπειτα διὰ δεκατεσσάρων ἐτῶν πάλιν ἀνέβην εἰς Ἱεροσόλυμα, μετὰ
Βαρνάβα, συμπαραλαβὼν καὶ Τίτον. **2** Ἀνέβην δὲ κατὰ ἀποκάλυψιν καὶ ἀνεθέμην
αὐτοῖς τὸ εὐαγγέλιον ὃ κηρύσσω ἐν τοῖς ἔθνεσιν. Κατ᾽ ἰδίαν δὲ τοῖς δοκοῦσιν, μή πως
εἰς κενὸν τρέχω, ἢ ἔδραμον. **3** Ἀλλ᾽ οὐδὲ Τίτος, ὁ σὺν ἐμοί, Ἕλλην ὤν, ἠναγκάσθη
περιτμηθῆναι· **4** διὰ δὲ τοὺς παρεισάκτους ψευδαδέλφους (οἵτινες παρεισῆλθον
κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν, ἣν ἔχομεν[n] ἐν Χριστῷ Ἰησοῦ, ἵνα ἡμᾶς
καταδουλώσωνται[o]), **5** οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν[p] τῇ ὑποταγῇ, ἵνα ἡ ἀλήθεια τοῦ
εὐαγγελίου διαμείνῃ πρὸς ὑμᾶς.—**6** Ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι (ὁποῖοί ποτε[q]
ἦσαν οὐδέν μοι διαφέρει· πρόσωπον[r] Θεὸς ἀνθρώπου οὐ λαμβάνει[s])—ἐμοὶ γὰρ οἱ
δοκοῦντες οὐδὲν προσανέθεντο, **7** ἀλλὰ τοὐναντίον, ἰδόντες ὅτι πεπίστευμαι τὸ
εὐαγγέλιον τῆς ἀκροβυστίας, καθὼς Πέτρος τῆς περιτομῆς **8** (ὁ γὰρ ἐνεργήσας Πέτρῳ
εἰς ἀποστολὴν τῆς περιτομῆς ἐνήργησεν καὶ ἐμοὶ[t] εἰς τὰ ἔθνη), **9** καὶ γνόντες[u] τὴν
χάριν τὴν δοθεῖσάν[v] μοι, Ἰάκωβος καὶ Κηφᾶς καὶ Ἰωάννης, οἱ δοκοῦντες στῦλοι εἶναι,

---

[h] ο θεος **f**$^{35}$ ℵA [98.5%] RP,HF,OC,TR,CP[NU] ¦ --- 𝔓$^{46}$B [1.5%]

[i] ευαγγελιζωμαι **f**$^{35}$ ℵA,B [73%] RP,HF,OC,TR,CP,NU ¦ ευαγγελιζομαι [25%] ¦ ευαγγελισωμαι 𝔓$^{46}$ [1%] ¦ two other variants [1%]

[j] αλλα *rell* ¦ αλλ [8%] TR

[k] ετη τρια *rell* ¦ ~ 21 ℵA [10%]

[l] πετρον **f**$^{35}$ (97.8%) RP,HF,OC,TR,CP ¦ κηφαν 𝔓$^{46,51}$ℵA,B (2.2%) NU

[m] κλιματα *rell* ¦ κληματα A [14%]

[n] εχομεν *rell* ¦ εχωμεν [12%]

[o] καταδουλωσωνται **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ καταδουλωσουσιν ℵA,B,C [1.5%] NU ¦ καταδουλωσωσιν 𝔓$^{46}$ [1%] ¦ three other variants

[p] ειξαμεν *rell* ¦ ηξαμεν [12%]

[q] ποτε *rell* ¦ τε [1%] CP

[r] προσωπον **f**$^{35}$ B,C [92%] RP,HF,OC,TR ¦ 1 ο 𝔓$^{46}$ℵA [8%] CP[NU]

[s] λαμβανει *rell* ¦ συλλαμβανει CP

[t] και εμοι **f**$^{35}$ ℵA,B [90%] RP,HF,OC,TR,CP,NU ¦ καμοι 𝔓$^{46}$A,C [8%] ¦ 1 εν 2 [2%]

[u] γνοντες *rell* ¦ γνωντες [15%]

[v] δοθεισαν *rell* ¦ δοθησαν [11%]

δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας, ἵνα ἡμεῖς μὲν[w] εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς
τὴν περιτομήν· **10** μόνον[x] τῶν πτωχῶν ἵνα μνημονεύωμεν,[y] ὃ καὶ ἐσπούδασα αὐτὸ
τοῦτο ποιῆσαι.

### *Paul has to rebuke Peter*

**11** Ὅτε δὲ ἦλθεν Πέτρος[z] εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὅτι
κατεγνωσμένος ἦν. **12** Πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου, μετὰ τῶν ἐθνῶν
συνήσθιεν·[a] ὅτε δὲ ἦλθον ὑπέστελλεν καὶ ἀφώριζεν[b] ἑαυτόν, φοβούμενος τοὺς ἐκ
περιτομῆς. **13** Καὶ συνυπεκρίθησαν[c] αὐτῷ καὶ[d] οἱ λοιποὶ Ἰουδαῖοι, ὥστε καὶ[e]
Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει.[f] **14** Ἀλλ’ ὅτε εἶδον[g] ὅτι οὐκ ὀρθοποδοῦσιν
πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου, εἶπον τῷ Πέτρῳ[h] ἔμπροσθεν πάντων· «Εἰ σύ,
Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς καὶ οὐκ Ἰουδαϊκῶς,[i] τί[j] τὰ ἔθνη ἀναγκάζεις
Ἰουδαΐζειν; **15** Ἡμεῖς φύσει Ἰουδαῖοι (καὶ οὐκ ἐξ ‹ἐθνῶν ἁμαρτωλοί›), **16** εἰδότες[k] ὅτι
οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, καὶ
ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ καὶ
οὐκ ἐξ ἔργων νόμου· διότι[l] οὐ δικαιωθήσεται ἐξ ἔργων νόμου[m] πᾶσα σάρξ. **17** Εἰ δὲ
ζητοῦντες δικαιωθῆναι ἐν Χριστῷ εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοί, ἆρα Χριστὸς
ἁμαρτίας διάκονος; Μὴ γένοιτο.

**18** »Εἰ γὰρ ἃ κατέλυσα ταῦτα πάλιν οἰκοδομῶ, παραβάτην ἐμαυτὸν συνίστημι.[n]
**19** Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον ἵνα Θεῷ ζήσω. **20** Χριστῷ συνεσταύρωμαι, ζῶ
δὲ οὐκέτι ἐγὼ ζῇ δὲ ἐν ἐμοὶ Χριστός· ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ ἐν πίστει ζῶ τῇ τοῦ Υἱοῦ
τοῦ Θεοῦ, τοῦ ἀγαπήσαντός με καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. **21** Οὐκ ἀθετῶ τὴν
χάριν τοῦ Θεοῦ· εἰ γὰρ διὰ νόμου δικαιοσύνη, ἄρα Χριστὸς δωρεὰν ἀπέθανεν.»

---

[w] μεν **f**$^{35}$ A,C [45%] RP ¦ --- ℵB [55%] HF,OC,TR,CP,NU
[x] μονον *rell* ¦ 1 δε [3%] CP
[y] μνημονευωμεν *rell* ¦ μνημονευομεν [15%]
[z] πετρος **f**$^{35}$ (92.8%) RP,HF,OC,TR,CP ¦ κηφας ℵA,B,C (6.2%) NU ¦ a long omission (1%)
[a] συνησθιεν *rell* ¦ συνισθιεν [4.5%] CP ¦ συνησθειον 𝔓$^{46}$ [0.5%] ¦ two other variants
[b] αφωριζεν *rell* ¦ αφοριζεν [17%]
[c] συνυπεκριθησαν *rell* ¦ συνυποκριθησαν CP ¦ two other spellings [3%]
[d] και **f**$^{35}$ ℵA,C [99%] RP,HF,OC,TR,CP[NU] ¦ --- 𝔓$^{46}$B [1%]
[e] και *rell* ¦ --- CP
[f] αυτων τη υποκρισει *rell* ¦ ~ 312 [10%]
[g] ειδον *rell* ¦ ιδον A [13%]
[h] πετρω **f**$^{35}$ (94.5%) RP,HF,OC,TR,CP ¦ κηφα 𝔓$^{46}$ℵA,B,C (4.6%) NU ¦ a long omission (0.8%)
[i] ζης και ουκ (ουχ 4.3%, ουχι 4.3%) ιουδαικως **f**$^{35}$ (86.9%) RP,HF,OC,TR(CP) ¦ 124 (5%) ¦ ~ 2 ουχι 41 B (1.7%) NU ¦ ~ 2 ουχ (ουκ 1.7%) 41 ℵA,C (3.7%) ¦ 1 𝔓$^{46}$ (0.7%) ¦ ~ 341 (0.7%) ¦ ~ 241 (0.3%) ¦ 134 (0.3%) ¦ a long omission (0.8%)
[j] τι **f**$^{35}$ [93.5%] RP,HF,OC,TR,CP ¦ πως 𝔓$^{46}$ℵA,B,C [6.5%] NU
[k] ειδοτες **f**$^{35}$ 𝔓$^{46}$A [80%] RP,HF,TR,CP ¦ 1 δε ℵB,C [10%] OC[NU] ¦ 1 ουν [10%] (OC has small print.)
[l] διοτι **f**$^{35}$ C [88%] RP,HF,OC,TR,CP ¦ οτι 𝔓$^{46}$ℵA,B,I [4%] NU ¦ --- [8%]
[m] ου δικαιωθησεται εξ εργων νομου **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP ¦ ~ 34512 𝔓$^{46}$ℵA,C,I [4%] NU ¦ ~ 3452 B ¦ three other variants
[n] συνιστημι **f**$^{35}$ [90%] RP,HF,OC,TR,CP ¦ συνιστανω 𝔓$^{46}$ℵA,B,C [3%] NU ¦ seven other variants, based on the two main ones [7%]

## Law or faith

**3:1** Ὦ ἀνόητοι Γαλάται, τίς ὑμᾶς ἐβάσκηνεν[o] τῇ ἀληθείᾳ μὴ πείθεσθαι,[p] οἷς κατ᾽ ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη ἐν ὑμῖν[q] ἐσταυρωμένος; **2** Τοῦτο μόνον θέλω μαθεῖν ἀφ᾽ ὑμῶν· ἐξ ἔργων νόμου τὸ Πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς πίστεως; **3** Οὕτως ἀνόητοί ἐστε; Ἐναρξάμενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε; **4** Τοσαῦτα ἐπάθετε εἰκῇ—εἴ γε καὶ[r] εἰκῇ; **5** Ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ Πνεῦμα καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν, ἐξ ἔργων νόμου, ἢ ἐξ ἀκοῆς πίστεως;—**6** καθὼς Ἁβραὰμ[s] ‹ἐπίστευσεν τῷ Θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.›

**7** Γινώσκετε ἄρα ὅτι οἱ ἐκ πίστεως, οὗτοί εἰσιν υἱοὶ[t] Ἁβραάμ. **8** Προϊδοῦσα δὲ ἡ Γραφὴ ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ Θεός, προευηγγελίσατο τῷ Ἁβραὰμ ὅτι «Ἐνευλογηθήσονται[u] ἐν σοὶ πάντα τὰ ἔθνη.» **9** Ὥστε, οἱ ἐκ πίστεως εὐλογοῦνται σὺν τῷ πιστῷ Ἁβραάμ.

### *The curse of the law*

**10** Ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσίν, ὑπὸ κατάραν εἰσίν· γέγραπται γάρ,[v] «Ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει ἐν[w] πᾶσιν τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου, τοῦ ποιῆσαι αὐτά.» **11** Ὅτι δὲ ἐν[x] νόμῳ οὐδεὶς δικαιοῦται παρὰ τῷ Θεῷ δῆλον, ὅτι «Ὁ δίκαιος ἐκ πίστεως ζήσεται.» **12** Ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ πίστεως, ἀλλ᾽ «Ὁ ποιήσας αὐτὰ ἄνθρωπος[y] ζήσεται ἐν αὐτοῖς.»

**13** Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος[z] ὑπὲρ ἡμῶν κατάρα—γέγραπται γάρ,[a] «Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου»—**14** ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἁβραὰμ γένηται[b] ἐν Χριστῷ Ἰησοῦ· ἵνα τὴν ἐπαγγελίαν τοῦ Πνεύματος λάβωμεν διὰ τῆς πίστεως.

---

[o] εβασκηνεν **f**$^{35}$ [50%] CP ¦ εβασκανεν אA,B,C [50%] RP,HF,OC,TR,NU (Why would medieval monks revive a classical spelling?)

[p] τη (−τη CP) αληθεια μη πειθεσθαι (πειθεσθε 3.6%) **f**$^{35}$ C (97%) RP,HF,OC,TR(CP) ¦ --- אA,B (3%) NU

[q] εν υμιν (ημιν 1%) **f**$^{35}$ (90.5%) RP,HF,OC,TR,CP ¦ --- אA,B,C (9.5%) NU

[r] και *rell* ¦ --- **𝔓**$^{46}$ CP

[s] ἁβρααμ **f**$^{35}$ [40%] ¦ ἀβρααμ [60%] RP,HF,OC,TR,CP,NU (Since collators down through the years have generally not bothered to record breathing marks, the percentages are guesses, but the testimony of **f**$^{35}$ is guaranteed. Unless an uncial consistently marks breathing, the absence of a mark cannot be trusted.) [When Jehovah changed Abram's name to Abraham (Genesis 17:5) the intervocalic aspiration in Hebrew is adequately represented in English by 'h'; but so far as I know, there is no way in Greek to indicate intervocalic aspiration within a word—the only alternative to losing the aspiration altogether would be to place it at the beginning of the word, as **f**$^{35}$ does.]

[t] εισιν υιοι **f**$^{35}$ A,C [90%] RP,HF,OC,TR,CP ¦ ~ 21 **𝔓**$^{46}$אB [1.5%] NU ¦ 1 οι 2 [8.5%]

[u] ενευλογηθησονται **f**$^{35}$ **𝔓**$^{46}$אA,B,C [90%] RP,HF,OC,TR,CP,NU ¦ ευλογηθησονται [10%] some TRs

[v] γαρ **f**$^{35}$ [96%] RP,HF,OC,TR,CP ¦ 1 οτι אA,B,C [4%] NU ¦ 1 τι **𝔓**$^{46}$

[w] εν **f**$^{35}$ A,C [93%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**$^{46}$אB [4%] NU ¦ επι [3%]

[x] εν *rell* ¦ 1 τω [1%] CP

[y] ανθρωπος **f**$^{35}$ (93.1%) RP,HF,OC,TR,CP ¦ --- **𝔓**$^{46}$אA,B,C (6.6%) NU ¦ long omissions (0.3%)

[z] γενομενος *rell* ¦ γινομενος CP

[a] γεγραπται γαρ **f**$^{35}$ א [98%] RP,HF,OC,TR,CP ¦ ~ οτι 1 **𝔓**$^{46}$A,B,C [2%] NU

[b] γενηται *rell* ¦ γενησεται C [10%] ¦ γενητε [2%]

*The covenant with Abraham*

**15** Ἀδελφοί·[c] κατὰ ἄνθρωπον λέγω· ὅμως ἀνθρώπου, κεκυρωμένην διαθήκην
οὐδεὶς ἀθετεῖ ἢ ἐπιδιατάσσεται. **16** Τῷ δὲ Ἀβραὰμ ἐρρέθησαν[d] αἱ ἐπαγγελίαι, καὶ τῷ
σπέρματι αὐτοῦ. Οὐ λέγει «καὶ[e] τοῖς σπέρμασιν,» ὡς ἐπὶ πολλῶν, ἀλλ᾽ ὡς ἐφ᾽ ἑνός,
«καὶ τῷ σπέρματί σου,»[f] ὅς ἐστιν Χριστός. **17** Τοῦτο δὲ λέγω· διαθήκην
προκεκυρωμένην ὑπὸ τοῦ Θεοῦ εἰς Χριστὸν[g] ὁ μετὰ ἔτη τετρακόσια καὶ τριάκοντα[h]
γεγονὼς νόμος οὐκ ἀκυροῖ, εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν. **18** Εἰ γὰρ ἐκ νόμου ἡ
κληρονομία, οὐκέτι ἐξ ἐπαγγελίας, τῷ δὲ Ἀβραὰμ δι᾽ ἐπαγγελίας κεχάρισται ὁ Θεός.

*The law was a guardian*

**19** Τί οὖν ὁ νόμος; Τῶν παραβάσεων χάριν προσετέθη, ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα
ᾧ[i] ἐπήγγελται· διαταγεὶς[j] δι᾽ ἀγγέλων ἐν χειρὶ μεσίτου. **20** (Ὁ δὲ μεσίτης ἑνὸς οὐκ
ἔστιν, ὁ δὲ Θεὸς εἷς ἐστιν.) **21** Ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ;[k] Μὴ
γένοιτο. Εἰ γὰρ ἐδόθη νόμος ὁ δυνάμενος ζωοποιῆσαι, ὄντως ἂν ἐκ νόμου ἦν[l] ἡ
δικαιοσύνη. **22** Ἀλλὰ συνέκλεισεν ἡ Γραφὴ τὰ[m] πάντα ὑπὸ ἁμαρτίαν, ἵνα ἡ ἐπαγγελία
ἐκ πίστεως Ἰησοῦ Χριστοῦ δοθῇ τοῖς πιστεύουσιν.

**23** Πρὸ τοῦ δὲ[n] ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα, συγκεκλεισμένοι[o] εἰς
τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. **24** Ὥστε, ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν
εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν. **25** Ἐλθούσης δὲ τῆς πίστεως, οὐκέτι ὑπὸ
παιδαγωγόν ἐσμεν.

**26** Πάντες γὰρ[p] υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ. **27** Ὅσοι γὰρ εἰς
Χριστὸν ἐβαπτίσθητε Χριστὸν ἐνεδύσασθε **28**—οὐκ ἔνι Ἰουδαῖος οὐδὲ Ἕλλην, οὐκ
ἔνι δοῦλος οὐδὲ[q] ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν
Χριστῷ Ἰησοῦ—**29** εἰ δὲ ὑμεῖς[r] Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστὲ καὶ[s] κατ᾽
ἐπαγγελίαν κληρονόμοι.

---

[c] αδελφοι *rell* ¦ --- [1%] CP
[d] ερρεθησαν **f**$^{35}$ ℵA,B,C,I [40%] OC,CP,NU ¦ ερεθησαν [4%] ¦ ερρηθησαν [55%] RP,HF,TR ¦ ερηθησαν [1%]
[e] και *rell* ¦ --- [6%] CP
[f] σου *rell* ¦ --- CP
[g] εις χριστον **f**$^{35}$ I,0176 [97.5%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**$^{46}$ℵA,B,C [2.5%] NU
[h] ετη τετρακοσια και τριακοντα **f**$^{35}$ 0176 [93%] RP,HF,OC,TR,CP ¦ ~ 2341 **𝔓**$^{46}$ℵA,B,C [7%] NU
[i] ω **f**$^{35}$ **𝔓**$^{46}$ℵA,B,C [75%] RP,HF,OC,TR,CP,NU ¦ ο [25%]
[j] διαταγεις *rell* ¦ διαταγεισα CP ¦ διαταγης [8%] ¦ διαταγις [0.5%]
[k] του θεου **f**$^{35}$ ℵA,C [99%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**$^{46}$B [alone] ¦ 2 [0.5%]
[l] αν εκ νομου ην **f**$^{35}$ 0176$^{v}$ (86.4%) RP,HF,OC,TR ¦ 12 του 34 (1.5%) ¦ ~ 2314 A,C (1.5%) NU ¦ ~ 2341 ℵ (4%) ¦ 234 (3.1%) CP ¦ 123 (0.7%) ¦ ~ 231 (1.5%) ¦ ~ εν 314 B (alone) ¦ ~ εν 341 **𝔓**$^{46}$ (alone) ¦ four other readings (1%)
[m] τα *rell* ¦ --- [3%] CP
[n] δε *rell* ¦ --- [9%] CP ¦ γαρ [3%] ¦ ~ δε του OC
[o] συγκεκλεισμενοι **f**$^{35}$ C,0176 [97%] RP,HF,OC,TR,CP ¦ συνκλειομενοι **𝔓**$^{46}$A,B [1%] ¦ συνκλιομενοι ℵ [1%] ¦ συγκλειομενοι [1%] NU
[p] γαρ *rell* ¦ --- [1%] CP
[q] ουδε *rell* ¦ ουδ CP ¦ ουτε [7%]
[r] υμεις *rell* ¦ του CP
[s] και **f**$^{35}$ [94%] RP,HF,OC,TR ¦ --- ℵA,B,C [6%] CP,NU

## *Sons or slaves*

**4:1** Λέγω δέ, ἐφ᾽ ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει
δούλου, κύριος πάντων ὤν, **2** ἀλλ᾽[t] ὑπὸ ἐπιτρόπους ἐστὶν καὶ οἰκονόμους ἄχρι τῆς
προθεσμίας τοῦ πατρός. **3** Οὕτως καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι ὑπὸ τὰ στοιχεῖα τοῦ
κόσμου ἦμεν[u] δεδουλωμένοι. **4** Ὅτε δὲ ἦλθεν τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν
ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γενόμενον[v] ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον,[w] **5** ἵνα τοὺς
ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. **6** Ὅτι[x] δέ ἐστε υἱοί,
ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν[y] κρᾶζον,[z]
«Ἀββᾶ, ὁ Πατήρ.» **7** Ὥστε οὐκέτι εἶ δοῦλος ἀλλ᾽[a] υἱός, εἰ δὲ υἱός, καὶ κληρονόμος
Θεοῦ διὰ Χριστοῦ.[b]

## *Paul's concern*

**8** Ἀλλὰ τότε μέν, οὐκ εἰδότες Θεόν, ἐδουλεύσατε τοῖς μὴ φύσει[c] οὖσιν θεοῖς.
**9** Νῦν δὲ γνόντες[d] Θεόν—μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ—πῶς ἐπιστρέφετε πάλιν
ἐπὶ τὰ ἀσθενῆ, καὶ πτωχά, στοιχεῖα, οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε; **10** Ἡμέρας
παρατηρεῖσθε καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτούς. **11** Φοβοῦμαι ὑμᾶς, μή πως εἰκῇ
κεκοπίακα εἰς ὑμᾶς.

**12** Γίνεσθε ὡς ἐγώ, ὅτι κἀγὼ ὡς ὑμεῖς, ἀδελφοί, δέομαι ὑμῶν. Οὐδέν με
ἠδικήσατε. **13** Οἴδατε δὲ ὅτι δι᾽ ἀσθένειαν τῆς σαρκὸς εὐηγγελισάμην ὑμῖν τὸ
πρότερον. **14** Καὶ τὸν πειρασμόν μου[e] τὸν[f] ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε οὐδὲ
ἐξεπτύσατε, ἀλλ᾽[g] ὡς ἄγγελον Θεοῦ ἐδέξασθέ με, ὡς Χριστὸν Ἰησοῦν. **15** Τίς[h] οὖν ἦν[i]
ὁ μακαρισμὸς ὑμῶν; Μαρτυρῶ γὰρ ὑμῖν ὅτι εἰ δυνατὸν τοὺς ὀφθαλμοὺς ὑμῶν
ἐξορύξαντες ἂν[j] ἐδώκατέ μοι. **16** Ὥστε ἐχθρὸς ὑμῶν γέγονα ἀληθεύων ὑμῖν;

---

[t] αλλ **f**$^{35}$ [40%] ¦ αλλα אA,B,C [60%] RP,HF,OC,TR,CP,NU

[u] ημεν **f**$^{35}$ A,B,C [98.5%] RP,HF,OC,TR,CP ¦ ημεθα 𝔓$^{46}$א [1.5%] NU

[v] γενομενον **f**$^{35}$ 𝔓$^{46}$אA,B,C [71%] RP,HF,OC,TR,NU ¦ γεννωμενον [12%] CP ¦ γεννομενον [16%] ¦ γενωμενον [1%]

[w] νομον *rell* ¦ νομου [1%] CP

[x] οτι *rell* ¦ οτε [4%] CP

[y] υμων **f**$^{35}$ [94%] RP,HF,OC,TR,CP ¦ ημων 𝔓$^{46}$אA,B,C [6%] NU ¦ one other variant

[z] κραζον *rell* ¦ κραζων [15%]

[a] αλλ **f**$^{35}$ [60%] RP,HF,OC,TR ¦ αλλα 𝔓$^{46}$אA,B,C [40%] CP,NU

[b] θεου δια χριστου **f**$^{35}$ (74%) RP,HF,OC,TR,CP ¦ 23 (1.3%) ¦ 12 ιησου 3 (14.4%) ¦ 2 ιησου 3 (0.7%) ¦ ~ 21 𝔓$^{46}$אA,B,C (1.5%) NU ¦ --- (0.7%) ¦ μεν 1 συγκληρονομος δε 3 (6.4%) ¦ four other readings (1%)

[c] μη φυσει **f**$^{35}$ [93%] RP,HF,OC,TR,CP ¦ ~ 21 𝔓$^{46}$א(A,B)C [5%] NU ¦ 2 [2%]

[d] γνοντες *rell* ¦ γνωντες [10%]

[e] μου **f**$^{35}$ 𝔓$^{46}$C (86.9%) RP,HF,OC,TR,CP ¦ --- (11.4%) ¦ υμων אA,B (1.7%) NU

[f] τον **f**$^{35}$ C (97.8%) RP,HF,OC,TR,CP ¦ --- 𝔓$^{46}$אA,B (2.2%) NU

[g] αλλ *rell* ¦ αλλα 𝔓$^{46}$B [1%] NU

[h] τις **f**$^{35}$ [96%] RP,HF,OC,TR,CP ¦ που 𝔓$^{46}$אA,B,C [4%] NU

[i] ην **f**$^{35}$ [86%] RP,HF,OC,TR,CP ¦ --- 𝔓$^{46}$אA,B,C [14%] NU

[j] αν **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ --- 𝔓$^{46}$אA,B,C [2%] NU ¦ two other variants [1%]

**17** Ζηλοῦσιν ὑμᾶς—οὐ καλῶς ἀλλὰ[k] ἐκκλεῖσαι[l] ὑμᾶς θέλουσιν, ἵνα αὐτοὺς
ζηλοῦτε.[m] **18** Καλὸν δὲ τὸ[n] ζηλοῦσθαι ἐν καλῷ πάντοτε, καὶ μὴ μόνον ἐν τῷ παρεῖναί
με πρὸς ὑμᾶς.

**19** Τεκνία[o] μου, οὓς πάλιν ὠδίνω ἄχρις[p] οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν **20**—ἤθελον
δὲ παρεῖναι πρὸς ὑμᾶς ἄρτι καὶ ἀλλάξαι τὴν φωνήν μου· ὅτι ἀποροῦμαι ἐν ὑμῖν.

### *'Hagar' vs 'Sarah'*

**21** Λέγετέ μοι, οἱ ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον οὐκ ἀκούετε; **22** Γέγραπται
γὰρ ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν· ἕνα ἐκ τῆς παιδίσκης καὶ ἕνα ἐκ τῆς ἐλευθέρας.
**23** Ἀλλ᾽[q] ὁ μὲν ἐκ τῆς παιδίσκης κατὰ σάρκα γεγέννηται, ὁ δὲ ἐκ τῆς ἐλευθέρας διὰ
τῆς[r] ἐπαγγελίας, **24** ἅτινά ἐστιν ἀλληγορούμενα. Αὗται γάρ εἰσιν[s] δύο διαθῆκαι· μία
μὲν ἀπὸ ὄρους Σινᾶ, εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἄγαρ[t] **25** (τὸ γὰρ Ἄγαρ[u] Σινᾶ
ὄρος ἐστὶν ἐν τῇ Ἀραβίᾳ, συστοιχεῖ[v] δὲ τῇ νῦν Ἱερουσαλήμ,[w] δουλεύει δὲ[x] μετὰ τῶν
τέκνων αὐτῆς)· **26** ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶν μήτηρ πάντων[y]
ἡμῶν. **27** Γέγραπται γάρ· «Εὐφράνθητι, στεῖρα, ἡ οὐ τίκτουσα· ῥῆξον καὶ βόησον, ἡ
οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα.»
**28** Ἡμεῖς[z] δέ, ἀδελφοί, κατὰ Ἰσαάκ, ἐπαγγελίας τέκνα ἐσμέν.[a] **29** Ἀλλ᾽ ὥσπερ τότε ὁ
κατὰ σάρκα γεννηθεὶς ἐδίωκεν τὸν κατὰ Πνεῦμα, οὕτως καὶ νῦν. **30** Ἀλλὰ τί λέγει ἡ
Γραφή; «Ἔκβαλε[b] τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς, οὐ γὰρ μὴ[c] κληρονομήσῃ[d] ὁ
υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας.» **31** Ἄρα,[e] ἀδελφοί, οὐκ ἐσμὲν
παιδίσκης τέκνα, ἀλλὰ τῆς ἐλευθέρας.

---

[k] αλλα *rell* ¦ αλλ C [18%]
[l] εκκλεισαι *rell* ¦ εκκλησαι [13%] ¦ four other spellings ℵA [3%]
[m] ζηλουτε **f**$^{35}$ ℵA,B,C (85.5%) RP,HF,OC,TR,NU ¦ ζηλουται (8.3%) ¦ ζηλωτε (4.5%) ¦ ζηλωται (0.7%) ¦ five other readings (1.2%) ¦ ζηλουσθε CP
[n] το **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B,C [3%] NU
[o] τεκνια **f**$^{35}$ (A)C [99%] RP,HF,OC,TR,CP ¦ τεκνα ℵB [1%] NU
[p] αχρις **f**$^{35}$ A,C [97.5%] HF,OC,TR,CP ¦ μεχρις ℵB [1.5%] NU ¦ αχρι [1%] RP
[q] αλλ *rell* ¦ και CP ¦ αλλα B
[r] δια της **f**$^{35}$ B [88%] RP,HF,OC,TR,CP ¦ δι 𝔓$^{46}$ℵA,C [6%] NU ¦ κατ [6%]
[s] εισιν **f**$^{35}$ 𝔓$^{46}$A,B,C [92%] RP,HF,OC,CP,NU ¦ 1 αι ℵ [8%] TR
[t] άγαρ **f**$^{35}$ OC,TR,CP ¦ ἀγαρ RP,HF,NU
[u] γαρ αγαρ **f**$^{35}$ (90.4%) RP,HF,OC,TR,CP ¦ 1 ℵC (2.5%) ¦ 2 (0.3%) ¦ δε 2 A,B (5%) NU ¦ δε 𝔓$^{46}$ (alone) ¦ three long omissions [homoioteleuton] (1.7%)
[v] συστοιχει *rell* ¦ συστυχει [20%] ¦ συνστοιχει 𝔓$^{46}$B [0.5%] ¦ six further spellings [3%]
[w] ἱερουσαλημ **f**$^{35}$ [80%] RP,OC,TR,CP ¦ ἰερουσαλημ [20%] HF,NU (Unless an uncial consistently marks breathing, the absence of a mark cannot be trusted.)
[x] δε **f**$^{35}$ [61%] RP,HF,OC,TR,CP ¦ γαρ 𝔓$^{46}$ℵA,B,C [4%] NU ¦ νυν [35%]
[y] παντων **f**$^{35}$ A [97%] RP,HF,OC,TR,CP ¦ --- 𝔓$^{46}$ℵB,C [3%] NU
[z] ημεις **f**$^{35}$ ℵA,C [92%] RP,HF,OC,TR,CP ¦ υμεις 𝔓$^{46}$B [8%] NU
[a] εσμεν **f**$^{35}$ ℵA,C [94%] RP,HF,OC,TR,CP ¦ εστε 𝔓$^{46}$B [6%] NU
[b] εκβαλε *rell* ¦ εκβαλλε [1%] CP ¦ εκβαλαι [1%]
[c] γαρ μη *rell* ¦ ~ 21 [2%] OC ¦ 1 𝔓$^{46}$ [2%]
[d] κληρονομηση **f**$^{35}$ A,C [80%] RP,HF,TR ¦ κληρονομησει 𝔓$^{46}$ℵB [20%] OC,CP,NU
[e] αρα **f**$^{35}$ 𝔓$^{46}$ [95%] RP,HF,OC,TR,CP ¦ διο ℵB [2%] NU ¦ ημεις δε A,C [1%] ¦ --- [1%] ¦ one other variant

## Freedom in Christ

**5:1** Τῇ ἐλευθερίᾳ οὖν ᾗ[f] Χριστὸς ἡμᾶς[g] ἠλευθέρωσεν στήκετε,[h] καὶ μὴ πάλιν ζυγῷ
δουλείας ἐνέχεσθε.[i] **2** Ἴδε, ἐγώ, Παῦλος, λέγω ὑμῖν ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς
ὑμᾶς οὐδὲν ὠφελήσει.[j] **3** Μαρτύρομαι[k] δὲ πάλιν παντὶ ἀνθρώπῳ περιτεμνομένῳ ὅτι
ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον ποιῆσαι.[l] **4** Κατηργήθητε ἀπὸ τοῦ[m] Χριστοῦ, οἵτινες
ἐν νόμῳ δικαιοῦσθε· τῆς χάριτος ἐξεπέσετε.[n] **5** Ἡμεῖς γὰρ Πνεύματι ἐκ πίστεως
ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα. **6** Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει
οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη.

**7** Ἐτρέχετε καλῶς· τίς ὑμᾶς ἐνέκοψεν[o] τῇ[p] ἀληθείᾳ μὴ πείθεσθαι; **8** Ἡ πεισμονὴ
οὐκ ἐκ τοῦ καλοῦντος ὑμᾶς. **9** Μικρὰ ζύμη[q] ὅλον τὸ φύραμα ζυμοῖ. **10** Ἐγὼ πέποιθα
εἰς ὑμᾶς ἐν Κυρίῳ ὅτι οὐδὲν ἄλλο φρονήσετε· ὁ δὲ ταράσσων ὑμᾶς βαστάσει τὸ
κρῖμα, ὅστις ἂν[r] ᾖ.

**11** Ἐγὼ δέ, ἀδελφοί, εἰ περιτομὴν ἔτι κηρύσσω, τί ἔτι διώκομαι; Ἄρα κατήργηται
τὸ σκάνδαλον τοῦ σταυροῦ. **12** Ὄφελον[s] καὶ ἀποκόψονται[t] οἱ ἀναστατοῦντες ὑμᾶς.

**13** Ὑμεῖς γὰρ ἐπ' ἐλευθερίᾳ ἐκλήθητε, ἀδελφοί· μόνον μὴ τὴν ἐλευθερίαν εἰς
ἀφορμὴν τῇ σαρκί, ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις. **14** Ὁ γὰρ πᾶς νόμος[u] ἐν
ἑνὶ λόγῳ πληροῦται,[v] ἐν τῷ «ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.»[w] **15** Εἰ δὲ
ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ[x] ὑπὸ[y] ἀλλήλων ἀναλωθῆτε.

### *Spirit vs flesh*

**16** Λέγω δέ· Πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. **17** Ἡ
γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ Πνεύματος, τὸ δὲ Πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα δὲ[z]

---

[f] ουν η **f**$^{35}$ (80%) RP,HF,OC,TR ¦ 1 (5.4%) ¦ 2 (3.5%) ¦ --- ℵA,B,C (6.3%) NU ¦ 12 ὁ (2.3%) CP ¦ 1 ὁ (2.1%) ¦ 2 ὁ (0.3%)

[g] χριστος ημας **f**$^{35}$ C (89.6%) RP,HF,OC,TR,CP ¦ ~ 21 ℵA,B (2.3%) NU ¦ 1 υμας (7.6%) ¦ 1 (0.5%)

[h] στηκετε **f**$^{35}$ (91.9%) RP,HF,OC,TR,CP ¦ 1 ουν ℵA,B,C (6.9%) NU ¦ στητε (0.2%) ¦ στητε ουν (0.3%) ¦ στηκεται ουν (0.7%)

[i] ενεχεσθε *rell* ¦ ανεχεσθε [10%] ¦ ενεχεσθαι A [4.5%] ¦ ανεχεσθαι [0.3%]

[j] ωφελησει *rell* ¦ οφελησει [4%] CP ¦ ωφελησῃ [4%]

[k] μαρτυρομαι *rell* ¦ μαρτυρωμαι [11%]

[l] ποιησαι *rell* ¦ ποιησας CP ¦ πληρωσαι [5%]

[m] του **f**$^{35}$ A [97.5%] RP,HF,OC,TR,CP ¦ --- 𝔓$^{46}$ℵB,C [2.5%] NU

[n] εξεπεσετε **f**$^{35}$ [45%] HF ¦ εξεπεσατε 𝔓$^{46}$ℵA,B,C [54%] RP,OC,TR,CP,NU ¦ two other variants [1%]

[o] ενεκοψεν *rell* ¦ ανεκοψεν TR

[p] τη **f**$^{35}$ 𝔓$^{46}$C [99.5%] RP,HF,OC,TR,CP[NU] ¦ --- ℵA,B [alone]

[q] ζυμη *rell* ¦ ζημοι CP

[r] αν **f**$^{35}$ C [94%] RP,HF,OC,TR,CP ¦ εαν 𝔓$^{46}$ℵA,B [6%] NU

[s] οφελον *rell* ¦ ωφελον [20%] ¦ αρα 𝔓$^{46}$

[t] αποκοψονται *rell* ¦ αποκοψωνται 𝔓$^{46}$ [1%] CP

[u] νομος **f**$^{35}$ 𝔓$^{46}$ℵA,B,C [82%] RP,HF,OC,TR,CP,NU ¦ λογος [18%]

[v] πληρουται **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ πεπληρωται 𝔓$^{46}$ℵA,B,C [2.5%] NU ¦ three other readings [0.5%]

[w] σεαυτον **f**$^{35}$ ℵA,B,C [55%] HF,OC,NU ¦ εαυτον 𝔓$^{46}$ [45%] RP,TR,CP (It would be easy to drop a C—ΩCCEAYTON.)

[x] μη *rell* ¦ μηπω CP

[y] υπο **f**$^{35}$ A,C [84%] RP,HF,TR ¦ ὑπ 𝔓$^{46}$ℵB [16%] OC,CP,NU

[z] δε **f**$^{35}$ A,C [98.5%] RP,HF,OC,TR,CP ¦ γαρ 𝔓$^{46v}$ℵB [1.5%] NU

ἀντίκειται[a] ἀλλήλοις,[b] ἵνα μὴ ἃ ἂν[c] θέλητε, ταῦτα ποιῆτε. **18** Εἰ δὲ Πνεύματι ἄγεσθε οὐκ ἐστὲ ὑπὸ νόμον.[d]

**19** Φανερὰ δέ ἐστιν τὰ ἔργα τῆς σαρκός, ἅτινά ἐστιν· μοιχεία, πορνεία,[e] ἀκαθαρσία, ἀσέλγεια, **20** εἰδωλολατρία,[f] φαρμακεία,[g] ἔχθραι,[h] ἔρις,[i] ζῆλοι,[j] θυμοί, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, **21** φθόνοι, φόνοι,[k] μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις· ἃ προλέγω[l] ὑμῖν, καθὼς καὶ[m] προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν.

**22** Ὁ δὲ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη,[n] πίστις, **23** πρᾳότης,[o] ἐγκράτεια—κατὰ τῶν τοιούτων οὐκ ἔστιν νόμος. **24** Οἱ δὲ τοῦ Χριστοῦ[p] τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασιν καὶ ταῖς ἐπιθυμίαις.

**25** Εἰ ζῶμεν Πνεύματι, Πνεύματι καὶ στοιχῶμεν.[q] **26** Μὴ γινώμεθα[r] κενόδοξοι, ἀλλήλους προκαλούμενοι,[s] ἀλλήλοις[t] φθονοῦντες.

## Practical instructions

**6:1** Ἀδελφοί, ἐὰν καὶ προληφθῇ[u] ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς, οἱ πνευματικοί, καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πρᾳότητος,[v] σκοπῶν σεαυτὸν μὴ καὶ σὺ πειρασθῇς.[w] **2** Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε[x] τὸν νόμον τοῦ[y] Χριστοῦ. **3** Εἰ γὰρ δοκεῖ τις εἶναί τι, μηδὲν ὤν, ἑαυτὸν φρεναπατᾷ.[z] **4** Τὸ

---

[a] αντικειται *rell* ¦ αντικεινται [28%] CP
[b] αντικειται αλληλοις **f**[35] 𝔓[46v]א [97%] RP,HF,OC,TR,CP ¦ ~ 21 (A)B,C [3%] NU
[c] αν **f**[35] B [96%] RP,HF,OC,TR,CP ¦ εαν אA [3.5%] NU ¦ --- C [0.5%]
[d] υπο νομον *rell* ¦ απο νομου CP
[e] μοιχεια πορνεια **f**[35] [92%] RP,HF,OC,TR(CP) ¦ ~ 21 [3%] ¦ 2 (א)A,B,C [2%] NU ¦ --- [3%]
[f] ειδωλολατρια **f**[35] C [70%] OC,CP,NU ¦ ειδωλολατρεια אA,B [27%] RP,HF,TR ¦ ειδωλωλατρια [2%] ¦ three other spellings [1%]
[g] φαρμακεια *rell* ¦ φαρμακια אA [15%] CP
[h] εχθραι *rell* ¦ εχθρα [10%]
[i] ερις **f**[35] אA,B [60%] NU ¦ ερεις C [40%] RP,HF,OC,TR,CP
[j] ζηλοι **f**[35] אC [98.5%] RP,HF,OC,TR,CP ¦ ζηλος B [1%] NU ¦ two other readings [0.5%]
[k] φονοι **f**[35] A,C [95%] RP,HF,OC,TR,CP ¦ --- 𝔓[46]אB [5%] NU (An easy case of homoioteleuton.)
[l] α προλεγω *rell* ¦ απερ λεγω CP
[m] και **f**[35] A,C [98.5%] RP,HF,OC,TR,CP ¦ --- 𝔓[46]אB [1.5%] NU
[n] αγαθωσυνη *rell* ¦ αγαθοσυνη [25%]
[o] πραοτης **f**[35] [98.5%] RP,HF,OC,TR,CP ¦ πραυτης 𝔓[46]אA,B,C [1.5%] NU
[p] χριστου **f**[35] 𝔓[46] [97.5%] RP,HF,OC,TR,CP ¦ 1 ιησου אA,B,C [2.5%] [NU]
[q] στοιχωμεν *rell* ¦ στιχουμεν [13%] CP
[r] γινωμεθα **f**[35] אA,C [61%] RP,HF,OC,TR,NU ¦ γινομεθα [9%] ¦ γενωμεθα [20%] CP ¦ γενομεθα [9%] ¦ γεινωμεθα 𝔓[46]B [1%]
[s] προκαλουμενοι **f**[35] 𝔓[46]אA,B,C [75%] RP,HF,OC,TR,NU ¦ προσκαλουμενοι [25%] CP
[t] αλληλοις **f**[35] אA,C [60%] RP,HF,OC,TR,CP,NU ¦ αλληλους 𝔓[46]B [40%]
[u] προληφθη **f**[35] C [91.5%] RP,HF,OC,TR ¦ προσληφθη [5%] CP ¦ προλημφθη 𝔓[46]אA,B [1.5%] NU ¦ three other spellings [2%]
[v] πραοτητος **f**[35] A,C [98.5%] RP,HF,OC,TR,CP ¦ πραυτητος 𝔓[46]אB [1.5%] NU
[w] πειρασθης *rell* ¦ πειρασθεις [18%]
[x] αναπληρωσατε **f**[35] אA,C [97.5%] RP,HF,OC,TR,CP ¦ αναπληρωσετε B [2%] NU ¦ αποπληρωσετε 𝔓[46] ¦ one other variant
[y] του *rell* ¦ --- CP
[z] εαυτον φρεναπατα **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ ~ 21 𝔓[46]אA,B,C [3%] NU

δὲ ἔργον ἑαυτοῦ[a] δοκιμαζέτω ἕκαστος, καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει,
καὶ οὐκ εἰς τὸν ἕτερον. **5** Ἕκαστος γὰρ τὸ ἴδιον φορτίον βαστάσει.

**6** Κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι ἐν πᾶσιν ἀγαθοῖς.
**7** Μὴ πλανᾶσθε, Θεὸς οὐ μυκτηρίζεται· ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ
θερίσει **8**—ὅτι ὁ σπείρων εἰς τὴν σάρκα ἑαυτοῦ ἐκ τῆς σαρκὸς θερίσει φθοράν· ὁ δὲ
σπείρων εἰς τὸ Πνεῦμα ἐκ τοῦ Πνεύματος θερίσει ζωὴν αἰώνιον.

**9** Τὸ δὲ καλὸν ποιοῦντες μὴ ἐκκακῶμεν,[b] καιρῷ γὰρ ἰδίῳ θερίσομεν,[c] μὴ
ἐκλυόμενοι. **10** Ἄρα οὖν, ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα[d] τὸ ἀγαθὸν πρὸς πάντας,
μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως.

### *Boast in the cross*

**11** Ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί. **12** Ὅσοι θέλουσιν
εὐπροσωπῆσαι ἐν σαρκί, οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι, μόνον ἵνα μὴ τῷ
σταυρῷ τοῦ Χριστοῦ[e] διώκωνται.[f] **13** Οὐδὲ γὰρ οἱ περιτετμημένοι[g] αὐτοὶ νόμον
φυλάσσουσιν, ἀλλὰ θέλουσιν ὑμᾶς περιτέμνεσθαι ἵνα ἐν τῇ ὑμετέρᾳ[h] σαρκὶ
καυχήσωνται.[i] **14** Ἐμοὶ δέ, μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου
ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ[j] κόσμῳ. **15** Ἐν γὰρ
Χριστῷ Ἰησοῦ οὔτε[k] περιτομή τι ἰσχύει[l] οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις. **16** Καὶ
ὅσοι τῷ κανόνι[m] τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ᾽ αὐτοὺς καὶ ἔλεος, καὶ ἐπὶ τὸν
Ἰσραὴλ τοῦ Θεοῦ.

**17** Τοῦ λοιποῦ, κόπους μοι μηδεὶς παρεχέτω, ἐγὼ γὰρ τὰ στίγματα τοῦ Κυρίου
Ἰησοῦ[n] ἐν τῷ σώματί μου βαστάζω.

### *Sign-off*

**18** Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν, ἀδελφοί.
Ἀμήν.[o]

---

[a] εαυτου *rell* ¦ αυτου [10%]

[b] εκκακωμεν **f**$^{35}$ C [98.5%] RP,HF,OC,TR,CP ¦ εγκακωμεν ℵA(B) [1.5%] NU

[c] θερισομεν **f**$^{35}$ A,B [71%] RP,HF,OC,TR,CP,NU ¦ θερισωμεν ℵC [29%]

[d] εργαζωμεθα **f**$^{35}$ ℵB,C [65%] RP,HF,OC,TR,CP,NU ¦ εργαζομεθα A [28%] ¦ εργασωμεθα 𝔓$^{46}$ [6%] ¦ εργασομεθα [1%]

[e] μη τω σταυρω του χριστου **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ ~ 23451 ℵA,C [1.5%] NU ¦ ~ 2345 ιησου 1 𝔓$^{46}$B [0.5%] ¦ three other variants [1%]

[f] διωκωνται **f**$^{35}$ ℵB [65%] RP,HF,OC,TR,CP,NU ¦ διωκονται 𝔓$^{46}$A,C [32%] ¦ διωκοντε [3%]

[g] περιτετμημενοι **f**$^{35}$ 𝔓$^{46}$B [66%] RP,HF,OC,CP ¦ περιτεμνομενοι ℵA,C [32%] TR,NU ¦ four other spellings [2%]

[h] υμετερα *rell* ¦ ημετερα [13%]

[i] καυχησωνται *rell* ¦ καυχησονται [18%]

[j] τω **f**$^{35}$ [98%] RP,HF,OC,TR,CP ¦ --- 𝔓$^{46}$ℵA,B,C [2%] NU

[k] εν γαρ χριστου ιησου ουτε **f**$^{35}$ ℵA,C (96.5%) RP,HF,OC,TR,CP ¦ ουτε γαρ 𝔓$^{46}$B (3%) NU ¦ two other readings (0.5%)

[l] ισχυει **f**$^{35}$ [97.5%] RP,HF,OC,TR,CP ¦ εστιν 𝔓$^{46}$ℵA,B,C [2.5%] NU

[m] κανονι *rell* ¦ κανωνι [10%]

[n] κυριου ιησου **f**$^{35}$ [95.5%] RP,HF,OC,TR,CP ¦ 2 𝔓$^{46}$A,B,C [1%] NU ¦ 12 χριστου ℵ [1%] ¦ χριστου [1.5%] ¦ 1 ημων 2 χριστου [0.5%] ¦ three other variants [0.5%]

[o] The citation of **f**$^{35}$ is based on thirty-seven MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 986, 1072, 1075, 1100, 1248, 1249, 1503, 1548, 1617, 1637, 1725, 1732, 1761, 1855, 1864, 1865, 1892, 2080, 2352, 2431, 2466, 2554, 2587, 2723 and 2817—all of which I collated myself. 204, 1100, 1637,

1865, 2554 and 2587 are 'perfect' representatives of **f**$^{35}$ in Galatians, as they stand, as were the exemplars of another five. The uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Meteora, Athens, Mt. Athos [eight different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I used Reuben Swanson's excellent collations (*New Testament Greek Manuscripts: Galatians* [Ed. Reuben Swanson, Wheaton: Tyndale House Publishers, 1999]). For Galatians Swanson collated 78 MSS, six being fragmentary (for any given variant set there will usually be at least 70 MSS listed), and I occasionally supplemented from Scrivener and von Soden—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±2%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±10%—by comparing Swanson with *TuT*, I believe one can make a fairly accurate extrapolation. However, I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.